# ΥΠΟΘΕΣΙΣ ΤΡΩΙΑΔΩΝ.

ΜΕΤΑ τὴν Ἰλίου πόρθησιν ἔδοξεν Ἀθανᾶι τε καὶ Ποσειδῶνι τὸ τῶν Ἀχαιῶν στράτευμα διαφθεῖραι[1]· τοῦ μὲν εὐνοοῦντος τῆι πόλει διὰ τὴν κτίσιν· τῆς δὲ μισησάσης τοὺς Ἕλληνας, διὰ τὴν Αἴαντος εἰς Κασάνδραν ὕβριν· οἱ δὲ Ἕλληνες ἐκληρώσαντο[2] τὰς αἰχμαλωτίδας τῶν γυναικῶν· τοῖς γὰρ ἐν ἀξιώμασιν ἔδωκαν, Ἀγαμέμνονι μὲν Κασάνδραν, Ἀνδρομάχην δὲ Νεοπτολέμωι, Πολυξένην δὲ τῶι Ἀχιλλεῖ· ταύτην μὲν[3] οὖν ἐπὶ τοῦ τάφου αὐτοῦ ἔσφαξαν· Ἀστυάνακτα δὲ τὸν[4] τοῦ Ἕκτορος ἀπὸ τειχέων ἔῤῥιψαν. Ἑλένην δὲ ὡς ἀποκτενῶν[5] Μενέλεως ἤγαγεν. Ἀγαμέμνων δὲ τὴν χρησμωιδὸν ἐνυμφαγώγησεν. Ἑκάβη δὲ τῆς μὲν Ἑλένης κατηγορήσασα, τοὺς ἀναιρεθέντας δὲ κατοδυρομένη τε καὶ θρηνήσασα καὶ κηδεύσασα πρὸς τὰς τοῦ[6] Ὀδυσσέως ἤχθη σκηνὰς τούτωι λατρεύειν δοθεῖσα.

(1) Hl. διαφθαρῆναι. (2) Hl. κληρωσάμενοι περὶ τῶν αἰχμαλώτων γυναικῶν τὰς γάρ. Aldina lectio præstat: cf. 304. (3) Hl. μὲν ἐπὶ τῆς τοῦ προειρημένου ταφῆς. (4) Hl. delet τὸν τοῦ Ἕκτορος. Non male. Sedem rectius haberent post κηδεύσασα. Cf. 1138. (5) Hl. ἀποκτείνων Μενέλαος. Alteri favet 909. (6) Hl. delet τοῦ.